# Burton & Goodspeed # 69: Rejection at Nazareth

| Matthew 13:54-58 | Mark 6:1-6a |
|---|---|
| **Matthew 13:54** | **Mark 6:1** |
| | Καὶ ἐξῆλθεν ἐκεῖθεν |
| καὶ ἐλθὼν | καὶ ἔρχεται εἰς |
| εἰς τὴν πατρίδα αὐτοῦ | τὴν πατρίδα αὐτοῦ, |
| | καὶ ἀκολουθοῦσιν αὐτῷ οἱ |
| | μαθηταὶ αὐτοῦ. |
| | **2** καὶ γενομένου σαββάτου |
| ἐδίδασκεν αὐτοὺς | ἤρξατο διδάσκειν |
| ἐν τῇ συναγωγῇ αὐτῶν, | ἐν τῇ συναγωγῇ, |
| | καὶ πολλοὶ ἀκούοντες |
| ὥστε ἐκπλήσσεσθαι αὐτοὺς | ἐξεπλήσσοντο |
| καὶ λέγειν, | λέγοντες, |
| Πόθεν τούτῳ | Πόθεν τούτῳ ταῦτα, |
| ἡ σοφία αὕτη | καὶ τίς ἡ σοφία ἡ δοθεῖσα |
| | τούτῳ, |
| καὶ αἱ δυνάμεις; | καὶ αἱ δυνάμεις τοιαῦται διὰ |
| | τῶν χειρῶν αὐτοῦ γινόμεναι; |
| **55** οὐχ οὗτός ἐστιν | **3** οὐχ οὗτός ἐστιν |
| ὁ τοῦ τέκτονος υἱός; | ὁ τέκτων, |
| οὐχ ἡ μήτηρ αὐτοῦ λέγεται | ὁ υἱὸς τῆς Μαρίας |
| Μαριὰμ | |

| | |
|---|---|
| καὶ οἱ ἀδελφοὶ αὐτοῦ | καὶ ἀδελφὸς |
| Ἰάκωβος καὶ Ἰωσὴφ | Ἰακώβου καὶ Ἰωσῆτος |
| καὶ Σίμων καὶ Ἰούδας; | καὶ Ἰούδα καὶ Σίμωνος; |
| **56** καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ | καὶ οὐκ εἰσὶν αἱ ἀδελφαὶ αὐτοῦ |
| πᾶσαι πρὸς ἡμᾶς εἰσιν; | ὧδε πρὸς ἡμᾶς; |
| πόθεν οὖν τούτῳ ταῦτα πάντα; | |
| **57** καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. | καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ. |
| ὁ δὲ Ἰησοῦς εἶπεν αὐτοῖς, | **4** καὶ ἔλεγεν αὐτοῖς ὁ Ἰησοῦς |
| | ὅτι |
| Οὐκ ἔστιν προφήτης ἄτιμος | Οὐκ ἔστιν προφήτης ἄτιμος |
| εἰ μὴ ἐν τῇ πατρίδι | εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ |
| | καὶ ἐν τοῖς συγγενεῦσιν αὐτοῦ |
| καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. | καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. |
| **58** καὶ οὐκ ἐποίησεν ἐκεῖ | **5** καὶ οὐκ ἐδύνατο ἐκεῖ ποιῆσαι |
| δυνάμεις πολλὰς | οὐδεμίαν δύναμιν, |
| | εἰ μὴ ὀλίγοις ἀρρώστοις |
| | ἐπιθεὶς τὰς χεῖρας ἐθεράπευσεν. |
| | **6** καὶ ἐθαύμαζεν |
| διὰ τὴν ἀπιστίαν αὐτῶν. | διὰ τὴν ἀπιστίαν αὐτῶν. |
| | Καὶ περιῆγεν τὰς κώμας κύκλῳ διδάσκων. |

Matthew: 104 – 8 = 96 Mark: 140 – 9 = 131 Identical: 108/227 = 47.58%